eul_wid: hia-ab

*Κράτης ὁ Θηβαῖος (Ἐπιστολαί)* · Crates of Thebes II

# Cynic Hymns and Parodies

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κοινή* Koine
**Format:** *Πραγματεία* Treatise

1.(t) ΕΛΕΓΕΙΑΙ ΠΑΙΓΝΙΑ Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα, Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένωι· χόρτον ἐμῆι συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεί χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.

1.(t) . . . . . . . . . . . . . . . . . . .

1.(t) ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε. χρήματα δ’ οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου ὄλβον μύρμηκός τ’ ἄφενος χρήματα μαιόμενος, ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγινεῖν εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.

1.(t) τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ’ ἁγνάς οὐ δαπάναις τρυφεραῖς, ἀλλ’ ἀρεταῖς ὁσίαις.

2.(t) ΥΜΝΟΣ ΕΣ ΕΥΤΕΛΙΗΝ Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα, Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης· σὴν ἀρετὴν τιμῶσιν, ὅσοι τὰ δίκαι’ ἀσκοῦσιν.

3 ΕΠΗ ΠΑΡΩΙΔΙΑΙ καὶ μὴν Στίλπων’ εἰσεῖδον χαλέπ’ ἄλγε’ ἔχοντα ἐν Μεγάροις’, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς. ἔνθ’ ἔτ’ ἐρίζεσκεν, πολλοὶ δ’ ἀμφ’ αὐτὸν ἑταῖροι· τὴν δ’ ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

5 Φλειάσιόν τ’ Ἀσκληπιάδην καὶ ταῦρον Ἐρετρῆ καὶ μὴν Μικκύλον εἰσεῖδον ... τῶν ἐρίων ξαίνοντα γυναῖκά τε συγξαίνουσαν, τὸν λιμὸν φεύγοντας ἐν αἰνῆι δηϊοτῆτι.

6 ΠΗΡΗ Πήρη τις πόλις ἐστὶ μέσωι ἐνὶ οἴνοπι τύφωι καλὴ καὶ πίειρα, περίρρυτον οὐδὲν ἔχουσα, εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῆισιν, ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους. ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων, οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

7 οὔθ’ ὑπὸ χρυσείων δουλουμένη οὔθ’ ὑπ’ Ἐρώτων τηξιπόθων οὐδ’ εἴ τι συνέμπορόν ἐστι φίλυβρι. ἡδονῆι ἀνδραποδώδει ἀδούλωτοι καὶ ἄκναπτοι ἀθάνατον βασίλειαν, ἐλευθερίαν, {τ’} ἀγαπῶσιν.

9 μὴ πρὸ φακῆς λοπάδ’ αὔξων ἐς στάσιν ἄμμε βάλῃς κόγχον καὶ κύαμον σύναγ’, 〈ὦ φίλε〉 , κἂν τάδε δράσῃς, ῥηϊδίως στήσεις 〈στάσεωσ〉 πενίας τε τροπαῖον.

10 ταῦτ’ ἔχω, ὅσ’ ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ Μουσῶν σέμν’ ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψε.

11 στείχεις δή, φίλε κυρτών, βαίνεις 〈τ’〉 εἰς Ἀίδαο δόμους κυφὸς διὰ γῆρας.

12 ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

13.(t) ΤΡΑΓΩΙΔΙΑΙ ΕΦΗΜΕΡΙΣ τίθει μαγείρωι μνᾶς δέκ’, ἰατρῶι δραχμήν, κόλακι τάλαντα πέντε, συμβούλωι καπνόν, πόρνηι τάλαντον, φιλοσόφωι τριώβολον.

14 ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος· ἐὰν δὲ τούτοις μὴ δύνηι χρῆσθαι, βρόχος.

15 οὐχ εἷς πάτρα μοι πύργος, οὐ μία στέγη, πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος ἑτοῖμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

16a Κράτης Κράτητα χρημάτων ἀποστερεῖ.

16b ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης.

16c εὖ γ’, ὦ Τύχη μοι τῶν καλῶν διδάσκαλε, ὡς εἰς τρίβωνα ῥαιδίως συστέλλομαι.

17 ὁ γὰρ χρόνος μ’ ἔκαμψε, τέκτων μὲν σοφός, ἅπαντα δ’ ἐργαζόμενος ἀσθενέστερα.

18 οὐκ οἶσθα, πήρα δύναμιν ἡλίκην ἔχει θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν.

19 χαλεπὸν γενέσθαι λιμὸν ἐπὶ τῶι δράγματι.

20 τὰ δ’ ἀργυρώματ’ ἐστὶν ἥ τε πορφύρα εἰς τοὺς τραγωιδοὺς χρήσιμ’, οὐκ εἰς τὸν βίον.

21 ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα, οὗ μὴ τυχόντι θάνατός ἐσθ’ ἡ ζημία, οὗ πάντες ἐπιθυμοῦμεν. ἂν δ’ ἔλθηι ποτέ, ἀνιώμεθ’. οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org